www.tezaurliturgic.ro


# ΤΗ Ζ'. ΣΕΠΤΕΜΒΡΙΟΥ.

## Μνήμη τοῦ ἁγίου Μάρτυρος Σώζοντος (1).

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

Ἱστῶμεν Στίχους δ'. καί ψάλλομεν Στιχηρά Προσόμοια γ'. δευτεροῦντες το πρῶτον.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ποίημα Γεωργίου Ρήγα.

Ὡς ἀστέρα ὑπέρφωτον, ὁ Χριστός ἐν τῷ ὕψει σε, Ἐκκλησίας ἔδειξεν ἐναργέστατα, τήν οἰκουμένην φωτίζοντα, ἄθλων σου ταῖς λάμψεσι, καί λαμπρύνοντα ψυχάς, καί παθῶν ἀμαυρότητος ἐκκαθαίροντα. Διά τοῦτό σε Σώζων εὐφημοῦμεν, ὡς καλλίνικον ὁπλίτην, καί ἀθλητήν γενναιότατον.

Αἰκισμῶν καθυπήνεγκας, προσβολάς καρτερώτατα, φλόγα ἀσεβείας δέ ἐναπέσβεσας, τοῖς τῶν αἱμάτων σου ῥεύμασι, καί στράτευμα ἤσχυνας, τοῦ τυράννου νοητόν, τῇ δυνάμει τοῦ Πνεύματος ὁπλισάμενος. Διαδήματι ὅθεν νικηφόρῳ, ὁ Χριστός σε καταστέφει, ἐν οὐρανίοις σκηνώμασι.

Τῶν ἀθέων εἰσέδραμες, εἰς ναόν καί συνέτριψας, τούτων τά σεβάσματα, τά χρυσότευκτα, τῇ δυναστείᾳ ῥωννύμενος, Σταυροῦ Σώζων ἔνδοξε, ἁγιότευκτος ναός, τοῦ Κυρίου δεικνύμενος· καί πρός ἀ-

www.tezaurliturgic.ro

θλησιν, ἑκουσίως προσῆλθες θεοφόρε, φρυγανώδη πλάνην φλέγων, πυρὶ ἀγάπης τοῦ Κτίσαντος.

Δόξα. Ἦχος πλ. β΄. Τοῦ αὐτοῦ.

Δεῦτε συμφώνως οἱ πιστοί, τὴν μνήμην τελέσωμεν, Σώζοντος τοῦ καλλινίκου ἀθλητοῦ. Οὗτος γὰρ θρεμματικοῖς ποιμνίοις ἐνδιαπρέψας, ἑαυτὸν τῇ ἀπλανεῖ τοῦ Χριστοῦ ποίμνῃ προσήγαγεν, ὡς ἀρνίον ἄμωμον· τοῖς νοητοῖς δὲ λύκοις ἀνάλωτος δειχθείς, διὰ τοῦ μαρτυρίου, τῆς οὐρανίου μάνδρας θρέμμα ἐγένετο. Καὶ παρρησίαν ἔχων πρὸς Θεόν, τὴν εἰρήνην τῷ κόσμῳ αἰτεῖται, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Σήμερον στειρωτικαὶ πύλαι ἀνοίγονται, καὶ πύλη παρθενικὴ θεία προέρχεται. Σήμερον καρπογονεῖν ἡ χάρις ἀπάρχεται, ἐμφανίζουσα τῷ κόσμῳ Θεοῦ Μητέρα, δι᾽ ἧς τὰ ἐπίγεια, τοῖς οὐρανοῖς συνάπτεται, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Γεωργίου Ῥήγα.

Βότρυς ὡς νοητός, δεικνύμενος θεόφρον, ἀνέβλυσας τὸν οἶνον, σαφῶς τοῦ μαρτυρίου, Σώζων τὸν εὐκατάνυκτον.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Ὡς ῥόδον εὐανθοῦν, ταῖς ῥείθροις τῶν αἱμάτων, δειχθεὶς τῇ εὐωδίᾳ, τοῦ πλήθους τῶν θαυμάτων, τὸν κόσμον εὐωδίασας.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

www.tezaurliturgic.ro

Θῦμα προσενεχθείς, τραπέζῃ οὐρανίῳ, καλλίνικε ὁπλῖτα, ὑπὲρ ἡμῶν τὸν Κτίστην, διαπαντὸς ἱκέτευε.

Δόξα. Ἦχος πλ. β΄. Τοῦ αὐτοῦ.

Ἐπέλαμψε σήμερον τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἡ σεβάσμιος μνήμη τοῦ καλλινίκου ἀθλητοῦ. Δεῦτε οὖν συνδράμωμεν, φιλομαρτύρων στίφη, καὶ πνευματικῶς εὐφρανθῶμεν ἀναβοῶντες πρὸς αὐτόν· Ἐν οὐρανοῖς τῷ θρόνῳ τοῦ Δεσπότου, σὺν Ἀσωμάτοις περιπολεύων, μὴ διαλίπῃς Σώζων μακάριε, ἐκτενῶς καθικετεύων, σωθῆναι τοὺς ἐκ πόθου ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός

Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια· σήμερον ἔπνευσαν αὖραι, σωτηρίας προάγγελοι· ἡ τῆς φύσεως ἡμῶν διαλέλυται στείρωσις· ἡ γὰρ στεῖρα μήτηρ δείκνυται, τῆς παρθενευούσης μετὰ τόκον τοῦ Κτίσαντος, ἐξ ἧς τὸ ἀλλότριον οἰκειοῦται ὁ φύσει Θεός, καὶ τοῖς πλανηθεῖσι διὰ σαρκὸς σωτηρίαν ἀπεργάζεται, Χριστὸς ὁ φιλάνθρωπος, καὶ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ἁγίου. Σωθεὶς διὰ πίστεως.

Δόξα, καὶ νῦν. Τὸ Προεόρτιον. Ἐκ τῆς ῥίζης Ἰεσσαί.

---

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸ α΄ Ἀντίφωνον τοῦ, Μακάριος ἀνήρ, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου

www.tezaurliturgic.ro

γ'. καὶ τοῦ Ἁγίου γ'., τὰ ἐν τῷ Μηναίῳ (2).

Δόξα, τοῦ Μάρτυρος. Ἦχος β'.

Ἀλεξάνδρου Μωραϊτίδου.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, ἡ μνήμη τοῦ πανενδόξου Ἀθλοφόρου Σώζοντος, συγκαλοῦσα ἡμᾶς τοὺς φιλεόρτους, καὶ φιλομάρτυρας Σκιαθίους, εἰς ἑστίασιν πνευματικήν, καὶ τῶν ψυχῶν εὐωχίαν. Δεῦτε οὖν τὰς χεῖρας κροτήσαντες, πρὸς τὸν πολυέραστον ἡμῶν ἀθλητὴν ἐκβοήσωμεν· Χαίροις περίκλυτον Μαρτύρων ἀκροθίνιον, τὸ ἑκουσίως εἰς σφαγὴν προσενεχθὲν θῦμα, ὥσπερ ὁ Δεσπότης Χριστός, οὗ τοῖς ἴχνεσι πιστῶς κατηκολούθησας. Χαίροις ὁ ἀθανάτῳ στέφει παρὰ Χριστοῦ στεφθείς, τοῦ μεγάλου στεφανοδότου καὶ ἀγωνοθέτου. Χαίροις ὁ τῶν ἰαμάτων τὴν χάριν, ἀνέκλειπτον λαβὼν καὶ παρέχων, πᾶσι τοῖς δεομένοις. Χαίροις τῶν πλεόντων ὁ ἀκοίμητος ὁδηγός, καὶ κραταιὸς ἐν τῷ σάλῳ κυβερνήτης, οὗ ὁ ναὸς ὡς οὐράνιος φάρος φαίνει, σώζων ἐν τῇ λαίλαπι τῇ ζοφερᾷ τοῦ πελάγους, ὦ Σῶζον ἀθλητὰ ὡραιόμορφε. Δέξαι καὶ νῦν τὰς δεήσεις ἡμῶν ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἀθλήσεώς σου, καὶ προσάγαγε τῷ φιλευσπλάγχνῳ Δεσπότῃ ἡμῶν καὶ Θεῷ τῶν ἁπάντων, ὅπως δῴη ἡμῖν πλούσια τὰ αὐτοῦ ἐλέη ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Ἡ προορισθεῖσα παντάνασσα Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον νηδύος προήκται, τῆς Ἄννης ἠγλαϊσμένης, τῆς ἀϊδίου οὐσίας

www.tezaurliturgic.ro


τό θεῖον τέμενος· δι' ἧς ὁ ἰταμός Ἅδης καταπεπάτηται, καί παγγενῆ Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίζεται. Ταύτῃ ἐπαξίως ἐκβοήσωμεν· Μακαρία σύ ἐν γυναιξί, καί ὁ καρπός τῆς κοιλίας σου εὐλογημένος.

Εἴσοδος. Τό, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα τοῦ Ἁγίου Ἀνθίμου. Σελ.

Εἰς τήν Λιτήν, Στιχηρά Ἰδιόμελα.

Ἦχος α'. Ἀλεξάνδρου Μωραϊτίδου.

Τόν τοῦ μαρτυρίου σου διατρέχων ἀγῶνα, σιδηροῖς ὑποδήμασιν ὑποδεδεμένος, Σῶζον Ἀθλητά γενναιότατε, ἐν χαρᾷ ἀνεκραύγαζες· Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἤ στενοχωρία, ἤ διωγμός; λιμός ἤ δίψα ἤ θάνατος; Πᾶσαν βασάνων ἰδέαν ἡδέως ὑπέρ Χριστοῦ ὑπομένομεν, ἵνα τόν στέφανον τῆς δικαιοσύνης ἀναδησώμεθα. Ὅνπερ νῦν φέρων πανένδοξε, συγχορεύεις ἐν οὐρανοῖς μετά τῶν ἀσωμάτων, πρεσβεύων ἀδιαλείπτως, πρός Χριστόν τόν τῶν ὅλων Δημιουργόν, ὑπέρ τῶν πίστει καί πόθῳ ἑορταζόντων, τήν μακαρίαν σου ἄθλησιν.

Ὁ αὐτός.

Γεωργίου Ρήγα.

Ὁ θεῖος ἀριστεύς καί γενναῖος ὁπλίτης, τάς φάλαγγας ἐχθροῦ τροπωσάμενος, τόν ἀγῶνα τόν καλόν ἠγώνισται, καί μαρτυρίου τόν δρόμον τετέλεκε· διό καί ἐπαξίως τόν στέφανον τῆς νίκης ἀπείληφεν, ἐκ ζωηφόρου δεξιᾶς τοῦ Παντάνακτος. Ὧ καί παριστάμενος ἀδιαλείπτως πρεσβεύει, σωτηρίαν καί ζωήν δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

www.tezaurliturgic.ro


Ἦχος β'. Ἀλ. Μωραϊτίδου.

Ῥωσθεὶς διὰ βασάνων πολυωδύνων ἀθλητά, Σώζων ἀοίδιμε, σώζεις ἐκ βασάνων τῶν κοσμικῶν, τοὺς ἐν τῷ Ναῷ σου προσφεύγοντας, καὶ τῇ παντίμῳ Εἰκόνι σου λαμπαδηφοροῦντας ἐν καθαρᾷ καρδίᾳ, καὶ μετὰ δακρύων, τῶν τῆς μετανοίας, δεομένους σου Ἅγιε καὶ βοῶντάς σοι· Σῶσον ἡμᾶς ἀπὸ θλίψεων, ἀπὸ κινδύνων, καὶ νόσων καὶ δεινῶν συμπτωμάτων, ἰατρὲ εὐσυμπάθητε· καὶ φώτισον ἡμᾶς, τῷ φωτὶ τῆς μαρτυρικῆς σου δόξης, ἵνα ὁδηγηθέντες πρὸς τὸ σωτήριον τῆς μετανοίας φῶς, κατίδωμεν ἐν τῇ φοβερᾷ ὥρᾳ τοῦ θανάτου, ὡς Ἄγγελον φωτεινόν, σὲ τὸν ἕτοιμον σωτῆρα πάντων τῶν ἐν εὐλαβείᾳ προσκαλουμένων σε.

Ὁ αὐτός. Γ. Ρήγα.

Τοῦ ἐπωνύμου τῆς σωτηρίας τὴν μνήμην, θεοφρόνως τελουμένην θεώμενοι, τῷ ἐν ὑψίστοις Θεῷ εὐχαριστήριον ὕμνον μελῳδήσωμεν· τὸ γὰρ ἀόρατον κράτος τῶν ἐναντίων δυνάμεων, τῇ τοῦ Σταυροῦ πανοπλίᾳ περιπεφραγμένος ὁ Μάρτυς κατήργησε. Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Ἀνευφημείσθω σὺν πόθῳ σήμερον, ὁ στύλος ὁ ἄσειστος τῆς Ἐκκλησίας, τὸ τῶν πιστῶν ἀρραγὲς προπύργιον, τῆς οἰκουμένης ὁ φωστὴρ ὁ τηλαυγέστατος, ὁ ταύτην ταῖς ἀκτῖσι τῶν αὐτοῦ παλαισμάτων, ἅπερ ἀνδρικῶς ἀνέτλη, καταφωτίζων, καὶ τοῖς ὑμνηταῖς αἰτούμενος

www.tezaurliturgic.ro

σωτηρίαν ἐκ Θεοῦ καί μέγα ἔλεος.

Ἦχος γ'. Α. Μωραϊτίδου.

Ποιμένα ὄντα προβάτων σε, ὁ μέγας ποιμήν, τῇ ἑαυτοῦ μακαρίᾳ ποίμνῃ, ὡς ἀρνίον ἄμωμον εἰσεδέξατο, ἐν τῇ ἐκχύσει τῶν μαρτυρικῶν σου αἱμάτων, ὀσφρανθείς εὐωδίαν ὡς ἐπί Ἄβελ. Ἔνθα σύν Ἀγγέλων καί Μαρτύρων χοροστασίαις συναυλιζόμενος, ἐν ἀγαλλιάσει ἀναμέλπεις, ὕμνον τόν τρισάγιον καί ἀνακράζεις Χριστῷ τῷ Θεῷ· Ἐλογίσθημεν τό ἑσπέρας ὡς πρόβατα σφαγῆς, ἀλλ' εἰς τό πρωΐ εὐφράνθημεν ἀγαλλόμενοι. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ Βασιλεῦ, σῶσον τάς ψυχάς ἡμῶν.

Δόξα. Ἦχος δ'. Τοῦ αὐτοῦ.

Τά θολερά, τῆς ἀθεΐας ὕδατα κατέκλυσας, ὦ γενναιόφρον ἀθλητά, τοῖς ῥείθροις τῶν αἱμάτων σου, ἅ ὑπέρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐξέχεας, κατατυπτόμενος σφοδρῶς, καί ὑποδήμασι σιδηροῖς ὑποδεθείς, καί αἰκισμούς παντοδαπούς ὑποστάς, παρά τῶν ἀθέων τυράννων· εἶτα τοῖς βάκλοις πάλιν τυπτόμενος, καί τοῖς ὄνυξι ξεόμενος, καί τά ὀστᾶ καταθραυόμενος, παρέδωκας τό μακάριόν σου πνεῦμα εἰς χεῖρας Θεοῦ. Ἐξέστησαν Ἄγγελοι, κατεπλάγησαν ἄνθρωποι, καί δαίμονες ἔφριξαν. Σύ δέ, ὦ Σῶζον πολύαθλε, θανατούμενος ἐβόας· Σωτηρία μοι ὑπάρχει, καί αἰώνιος ζωή, τό ὑπέρ Χριστοῦ ἀποθνήσκειν. Διό καίετε, ξέετε, φλέγετε, μή φείδεσθε, ἀλλ' ἀγάγετέ με ὡς τάχος πορφυρένδυτον, πρός τόν οὐράνιόν μου Βασιλέα, ἵνα ἀπολαύσω τῆς αἰωνίου χαρᾶς ἐν τῇ βασιλείᾳ

www.tezaurliturgic.ro

τῶν οὐρανῶν. Ἧς καὶ ἡμεῖς ἀξιωθείημεν, τῇ μεσιτείᾳ σου πανεύφημε.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Τὴν πάνσεπτόν σου γέννησιν, Παναγία Παρθένε ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας, τοῦ Ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἀλ. Μωραϊτίδου.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ, Σῶζον γενναιότατε, ἐν ταῖς βασάνοις ἀνάλωτος, ἐδείχθης τὸν Χριστόν, ἔχων σώζοντά σε, ἐκ πυρὸς καὶ ὕδατος, καὶ εἰς ἀναψυχήν σε ἐξάγοντα· ὃν καθικέτευε, ἐξελέσθαι πάσης θλίψεως, καὶ ἡμᾶς νῦν, τοὺς πόθῳ ὑμνοῦντάς σε.

**Στίχ.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Κοινὸν ἰατρεῖον ἀθλητά, τὸν σεπτόν σου κέκτηνται, ναὸν ἐκ πάσης λυτρούμενοι, νόσου μακάριε, ἐν αὐτῷ οἱ πίστει, ἀκλινεῖ προσφεύγοντες, καὶ τῇ σεπτῇ εἰκόνι προσπίπτοντες· διὸ θεράπευσον, καὶ ἡμῶν τὰ ἀρρωστήματα, τῶν ἐκ πόθου ἐπικαλουμένων σε.

**Στίχ.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τῷ πόθῳ φλεγόμενος Χριστοῦ, Σώζων ποθεινότατε, τὴν τοῦ εἰδώλου κατέθραυσας, χεῖρα χρυσότευκτον, καὶ αὐτὴν τρισμάκαρ, τοῖς πτωχοῖς διένειμας διὸ ταῖς παναχράντοις χερσὶν αὐτοῦ, σὲ ἀντεισήγα-

www.tezaurliturgic.ro

γεν, ὁ Δεσπότης εἰς τὴν ἄφθαρτον, κληρουχίαν καὶ μακαριότητα.

Δόξα. Ἦχος πλ. β΄. Τοῦ αὐτοῦ.

Σήμερον, ἡ πολυέραστος μνήμη σου, πανασίδιμε ἀθλητά, συνηγάγετο ἡμᾶς ἐν τῷ πανσέπτῳ Ναῷ σου, ὅν ὁ δοξάσας σε Θεός, κοινὸν ἰατρεῖον ἀνέδειξε, ψυχῶν τε καὶ σωμάτων. Δέξαι οὖν τὰς ἡμῶν δεήσεις, Σώζων, πανυπέρλαμπρε τῶν Μαρτύρων χορίαρχε, καὶ προσάγαγε ταύτας, τῷ Παμβασιλεῖ καὶ φιλευσπλάγχνῳ Δεσπότῃ, ὅπως ἵλεως γένηται ἡμῖν, τοῖς καθ᾽ ἑκάστην αὐτῷ πταίουσι, καὶ μεταμελουμένοις· καὶ δῴη ἡμῖν πλούσια τὰ καρποφορήματα, εἰς οἰκονομίαν τοῦ σώματος καὶ τῆς ψυχῆς σωτηρίαν, ἐν μὲν τῷ παρόντι, εὐφορίαν τῆς γῆς καὶ εὐκρασίαν ἀέρος, καὶ νόσου πάσης ἀπαλλαγήν, καὶ σύνεσιν εἰς ἐργασίαν τῶν ἐντολῶν αὐτοῦ καὶ δικαιωμάτων· ἐν δὲ τῷ μέλλοντι, τὴν διαιωνίζουσαν ἀπόλαυσιν, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Σήμερον ἡ στεῖρα Ἄννα τίκτει Θεόπαιδα, τὴν ἐκ πασῶν τῶν γενεῶν προεκλεχθεῖσαν, εἰς κατοίκησιν τῷ παμβασιλεῖ, καὶ Κτίστῃ Χριστῷ τῷ Θεῷ, εἰς ἐκπλήρωσιν τῆς θείας οἰκονομίας· δι᾽ ἧς ἀνεπλάσθημεν οἱ γηγενεῖς, καὶ ἀνεκαινίσθημεν ἐκ τῆς φθορᾶς, πρὸς ζωὴν τὴν ἄληκτον.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σωθεὶς διὰ πίστεως, Σώζων πολύαθλε, σωτήριος γέγονας, χει-

www.tezaurliturgic.ro


μαζομένων λιμήν, προνοίᾳ Χριστοῦ τοῦ Θεοῦ· βρύεις γὰρ ἰαμάτων, ποταμοὺς τοῖς ποθοῦσι, παύεις ἀρρωστημάτων, τὸν φλογμὸν καθ' ἑκάστην· διὸ τὴν θείαν μνήμην σου, πίστει γεραίρομεν.

Δόξα. Ἕτερον Ἀπολυτίκιον τοῦ Μάρτυρος.

Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Ποίημα Ἀλεξάνδρου Μωραϊτίδου.

Σκιαθίων οἱ παῖδες, ἑορτάσωμεν σήμερον, χαρμοσύνως τελοῦντες, ἑορτὴν πανυπέρλαμπρον, εἰς αἶνον ἐνδόξου ἀθλητοῦ, καὶ πολιούχου ἡμῶν καὶ θεράποντος· καὶ τῷ ναῷ αὐτοῦ πανοικεὶ ἀθροιζόμενοι, βοήσωμεν πίστει τε καὶ πόθῳ· Σώζων ἀθλητὰ ὡραιόμορφε, δίδου τὴν εὐπλοΐαν τοῖς ναυτιλλομένοις, καὶ λιμένας ἀσφαλεῖς ἐν κινδύνοις, ἡμᾶς δὲ σῶζε, ἀπὸ πάσης νόσου πανἀοίδιμε (3).

Καὶ νῦν. Προεόρτιον: Ἐκ τῆς ῥίζης Ἰεσσαί.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα. Ἀλ. Μωραϊτίδου.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μαρτύρων ἀγλάϊσμα, Σώζων πολύαθλε, ἡμᾶς συνεκάλεσας, ἐν τῷ Ναῷ σου πιστῶς, ὑμνῆσαι τοὺς ἄθλους σου, οὕσπερ ἀνέτλης σώζων, τὴν καλὴν μαρτυρίαν, καὶ τὴν ὁμολογίαν τοῦ Σωτηρίου Λόγου· ἀνθ' ὧν Ἰησοῦς ὁ Σωτήρ, ἀφθάρτῳ στέφει σὲ ἐστεφάνωσε.

Δόξα. Ἕτερον. Γεωργίου Ῥήγα.

## ΤΗι Ζ΄ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ

Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σῴζοντος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Οἱ δίκαιοι, ἔφησεν ὁ Ζωοδότης Χριστός, ὡς ἥλιοι ἐκλάμψουσιν ἐν οὐρανοῖς ἀληθῶς μετὰ τὴν ἀνάστασιν. Σοῦ δὲ καὶ μετὰ πότμον, τὰ θειότατα μέλη, ἔλαμψαν παραδόξως, ἐν τῇ γῇ ὡς ἀστέρες, Χριστοῦ θαυματουργοῦντος ἐπὶ Σέ, Σῷζον ἀξιάγαστε.

Δόξα. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Ποιμὴν ὢν τῶν προβάτων, ὁρμῶν ναῷ εἰδώλων, χρυσοῦ ἀγάλματος Μάρτυς, ἀπέκοψας τὴν χεῖρα· πωλήσας δὲ ταύτην μυστικῶς, τὸ τίμημα παρέσχες τοῖς πτωχοῖς· διὰ τοῦτό σοι οἱ νόες καὶ οἱ βροτοί, ἐκραύγαζον Σώζων μάρτυς· Δ¨οξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ δυναμώσαντι· δόξα τῷ διὰ σοῦ Σώζων, Σωτῆρι, ἡμᾶς σώζοντι.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ὅμοιον.

Τεχθεῖσα παραδόξως, στειρωτικῶν ἐξ ὠδίνων, παρθενικῶν ἐκ λαγόνων, ἐκύησας ὑπὲρ φύσιν· ὡραῖος φανεῖσα γὰρ βλαστός, ἐξήνθησας τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν, βοῶσί σοι Θεοτόκε· Δόξα τῇ νῦν προόδῳ σου σεμνή· δόξα τῇ παρθενίᾳ σου· δόξα τῇ κυοφορίᾳ σου, μόνη Πανάχραντε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐξεπλάγη ὁ δεινὸς τύραννος λόγοις σου σοφοῖς· ὑπερζέσας γὰρ θυμῷ καὶ μανιώδης γεγονώς, ἐπὶ βασάνοις τρέπεται ὁ ἐμβρόντητος, καὶ ξέειν ἀφειδῶς, Σῷζον ἀπάρχεται, καὶ τύπτειν τὸ σεπτόν, μάστιξι, σῶμά σου ἐλεεινῶς κατέξανεν ὁ δείλαιος μέχρις ἐγκάτων ὁράσεως. Χριστὸς δὲ ἄνω ἰσχὺν ἐδίδου καὶ κραταιάν Σοι βοήθειαν.

Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἑαυτὸν ἡγεμόνι Σώζων ἐμύνησε, τῷ τιμωροῦντι ἀθῴους ἐξ ὑπονοίας πολλούς· διὸ ταῖς ῥάβδοις ἀφειδῶς κατατύπτεται, ὥστε ὀστᾶ αὐτοῦ σαρκός, καταθραυσθῆναι παντελῶς· καὶ σφόδρα πιεσθεὶς εἶτα, ὑποδήμασι σιδηροῖς τρέχειν, Θεῷ τὸ πνεῦμα παραδέδωκεν.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ὅμοιον.

Τὰ οὐράνια πάντα νῦν ἐπαγάλλονται, τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει αὐτοῖς, καὶ οἱ Προφῆται μυστικῶς συνευφραίνονται· ἣν γὰρ προεῖδον τυπικῶς, ἐν ταῖς ἀρχαίαις γενεαῖς, βάτον καὶ στάμνον καὶ ῥάβδον, νεφέλην πύλην καὶ θρόνον, καὶ μέγα ὄρος, γεννᾶται σήμερον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τῷ μόνῳ βασιλεῖ νῦν παρίστασαι χαίρων διάδημα φαιδρὸν καὶ στολὴν ἐξ οἰκείων, βαφεῖσαν αἱμάτων σου, περικείμενος ἔνδοξε καὶ θεούμενος καθαρωτάτη μεθέξει· ὅθεν σήμερον τὴν θείαν μνήμην σου Σῴζων, τελοῦντες ὑμνοῦμέν σε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Χορεύσωμεν πιστοί, ἐν ᾠδαῖς εὐφροσύνης· προέρχεται γὰρ νῦν στειρευούσης νηδύος, σκηνὴ θεοχώρητος, κιβωτὸς ἁγιάσματος, προεόρτιον, ἀναβοήσωμεν ὕμνόν, Δόξα λέγοντες τῷ χορηγῷ, τῶν ἁπάντων Χριστῷ τῷ Θεῷ ἡμῶν.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ ἡ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στίχος. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρἴου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγέλιον. κατὰ Λουκᾶν (κα΄ 12-19).
(Ζήτει τῇ κγ΄ Ἀπριλίου, ἐν τῷ Ὄρθρῳ).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσιν γὰρ ἐφ᾿ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέτε οὖν εἰς τὰς καρδίαις ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ὁ Ν΄ Ψαλμός.

Δόξα.
Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος β΄.

Ἀγαλλομένη ἡ Ἐκκλησία τοῦ Χριστοῦ, τοὺς σοὺς ἀγῶνας περικροτεῖ, μάρτυς Σῴζων πανεύφημε, καὶ πιστῶς ἑορτάζει τὴν σεβάσμιον μνήμην σου, ὡς μαργαρίτας διαυγεῖς τὰ μαρτυρικά σου περιφέρουσα στίγμα, ἃ διὰ Χριστὸν τὸν Θεὸν ὑπέστης καὶ δόξης ἠξιώθης τῆς ἀϊδίου· ὡς ἔχων παρρησίαν πρὸς αὐτὸν πανεύφημε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῶν μαρτύρων γέγονας τίμιον κλέος, καὶ τῷ κόσμῳ ἔλαμψας, ταῖς τῶν θαυμάτων σου βολαῖς, ὧν ἐκ Θεοῦ πλουτιζόμενος, Σῴζων λιταῖς σου, ἡμᾶς νῦν περίσωζε.

Οἶκος.

Τὸν ἀνατείλαντα σαφῶς ἐν τῇ σεπτῇ καὶ θείᾳ Χριστοῦ ἐκκλησίᾳ θεῖον ἀθλοφόρον Σῴζοντα, πάντες ἐν ᾠδαῖς δεῦτε προθύμως ἀνευφημήσωμεν, αὐτῷ προσάδοντες ἐπάξια ᾄσματα· οὗτος γὰρ ὄντως θράσος κατέβαλε τῶν εἰδωλομανούντων, πιστοῖς δὲ σωτηρίαν βραβεύει ἑκάστοτε πρεσβεύων ἀεί· Διὸ οἱ γηγενεῖς τῷ πόθῳ θελχθέντες μακαρίζομεν πιστῶς νῦν γεγηθότες τὴν σεπτὴν αὐτοῦ μνήμην, βοῶντες αὐτῷ· Σῴζων λιταῖς σου, ἡμᾶς νῦν περίσωζε.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Τῆς Θεοτόκου.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Σήμερον προέορτον, οἱ οὐρανοὶ ἀγαλλίασιν, τοῖς ἐν γῇ διαγγέλουσι, τῆς μόνης θεόπαιδος παρ᾿ ἐλπίδα πᾶσαν, τίκτεσθαι μελλούσης, δι᾿ ἧς ἀνθήσει μυστικῶς, στάχυς ὁ τρέφων πᾶσαν ἐν κόσμῳ πνοὴν καὶ πάντας ὁ λυτρούμενος, τοῦ ψυχοφθόρου λιμοῦ γηγενεῖς, καὶ τροφὴν τὴν ἀείζωον, χορηγῶν τοῖς εὐγνώμοσι.
Σῴζων παναοίδιμε, τὴν τῶν τυράννων κακόνοιαν παραδόξως ἐνίκησας, Σταυροῦ ὁπλισάμενος, τῇ δυνάμει μάκαρ, καὶ θυμῷ δικαίῳ κατὰ τοῦ ὄφεος σαφῶς κεκινημένος ἀξιοθαύμαστε· διὸ τὴν καρτερίαν σου καὶ τὴν ἀνδρείαν θαυμάζομεν, τὸν Σωτῆρα δοξάζοντες, τὸν ἀξίων σε στέψαντα.

Τοῦ Ἁγίου.

Αἵματι ῥαινόμενος, τῷ σῷ ὦ Σῴζων πανόλβιε, μιμητὴς ἐχρημάτισας, Χριστοῦ τοῦ

παντάνακτος τοῦ ἐν Σταυρῷ παγέντος, ὑπὲρ σοῦ τρισμάκαρ, καὶ βασιλείας τῆς αὐτοῦ, ὡς εὐεργέτης σὲ κατηξίωσεν, ἧς καὶ νῦν ἐμφορούμενος, καὶ καθαρῶς ἐμπιπλώμενος, ἀμοιβὰς τῶν καμάτων σου ἐκομίσω θεόσοφε.
Θεία τε καὶ εὔσημος, ἡμῖν ἐπέστη ἡ μνήμη σου, Ἀθλοφόρε πανεύφημε, ἐνθέως φαιδρύνουσα τὰ τῶν εὐσεβούντων, πρόσωπα καὶ πάντας, ὑμνεῖν ἀγείρουσα τοὺς σούς, Σῴζων ἀγῶνας τοὺς ὑπὲρ πίστεως δι᾿ ὧν Χριστὸν ἐδόξασας καὶ τὸν διάβολον ᾔσχυνας καὶ τυράννων κατέβαλες τὴν ὀφρὺν καὶ τὸ φρύαγμα.

Δόξα. Τοῦ Ἁγίου. Ἦχος πλ. β´.

Λυκαόνων τὸ θεῖον σέλας καὶ τῆς Κιλικίας τὸ θῦμα τὸ ἅγιον, τῆς τοῦ Κυρίου σημαίας ὀπαδὲ γνησιώτατε καὶ καταλύτα τῶν ξοάνων εἰδώλων καὶ τῆς πλάνης στηλιτευτά· Χαίροις τὸ τῶν ὀρέων στερρόν, ἐφ᾿ οὗ ὁ οἶκος τοῦ Θεοῦ ᾠκοδόμηται, ὡς ἔφη ὁ ψαλμῳδός. Χαίροις θαλερὲ βλαστὲ τοῦ ἀγλαοκάρπου τῆς εὐσεβείας δένδρου, τῇ ἰκμάδι τοῦ Πνεύματος καὶ τοῖς αἵμασι τοῦ Κυρίου πιαινόμενος. Χαίροις ἀκηλίδωτον ἔσοπτρον, τὸ ἀμιγὲς μὲν τῶν κάτω χαρακτήρων, τῶν δὲ ἄνω ἔμπλεων. Πρέσβευε οὖν ὑπὲρ ἡμῶν, ὅπως καλῶς τῇ εὐσεβείᾳ προσαρμοσθῶμεν, τῇ σῇ μεσιτείᾳ Μάρτυς Σῴζων πανεύφημε.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Σήμερον στειρωτικαὶ πύλαι ἀνοίγονται καὶ πύλη παρθενικὴ θεία προέρχεται. Σήμερον καρπογονεῖν ἡ χάρις ἀπάρχεται, ἐμφανίζουσα τῷ κόσμῳ Θεοῦ Μητέρα, δι᾿ ἧς τὰ ἐπίγεια τοῖς Οὐρανοῖς συνάπτεται, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ´ καὶ ἡ στ´ ᾠδή. Ἀντὶ αὐτῶν εἶναι δυνατὸν νά ψαλλοῦν τὰ συνήθη Ἀντίφωνα. Ὡς Γ´ Ἀντίφωνον ψάλλεται τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου προτασσομένου ἑνὸς Στίχου ἐκ τῶν Ἀποστίχων τοῦ Ἑσπερινοῦ.

Ἀπολυτίκια. Τοῦ Ἁγίου.

Τοῖς ρείθροις πολύαθλε, τῶν σῶν αἱμάτων Χριστός, λαμπρῶς ἐπορφύρωσε τῆς ἐκκλησίας αὐτοῦ, τὸ ἔνθεον σύστημα· ᾧ καὶ νῦν στεφηφόρος παρεστὼς μὴ ἐλλείπῃς, νόσων αἰτῶν παντοίων καὶ πταισμάτων τὴν λύσιν τοῖς πίστει ἐπιτελοῦσι, Σῴζων τὴν μνήμην σου.

Προεόρτιον.

Εὐφραίνου ἡ ἄγονος στεῖρα καὶ ἄτεκνος, καρπὸν ἁγιώτατον προβαλλομένη τανῦν, τὴν μόνην Μητρόθεον· ἧς καὶ προευφημοῦμεν τὸ Γενέσιον πίστει, ὕμνοις προεορτίοις, ἀνακράζοντες ταύτῃ χαρᾶς, βροτοῖς πρόξενος σῶζε τοὺς δούλους σου.

Κοντάκιον Προεόρτιον.

Ἦχος γ´. Ἡ Παρθένος σήμερον.

Ἡ Παρθένος σήμερον, καὶ Θεοτόκος Μαρία, ἡ παστὰς ἡ ἄλυτος, τοῦ οὐρανίου Νυμφίου, τίκτεται, ἀπὸ τῆς στείρας θεοβουλήτως, ὄχημα, τοῦ Θεοῦ Λόγου εὐτρεπισθῆναι· εἰς τοῦτο γὰρ καὶ προωρίσθη, ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς.

Ἀπόστολος, πρὸς Ρωμαίους (στ´ 18-23)

Εὐαγγελιον, κατὰ Λουκᾶν, (κα´ 12-19)

Μεγαλυνάριον τοῦ Ἁγίου Σῴζοντος.

Χαίροις Λυκαόνων ἡ καλλονή, χαίροις τῶν θαυμάτων ὁ ἀκένωτος θησαυρός, χαίροις τῶν πενήτων ὁ ρύστης καὶ προστάτης, Σῴζων τρισμάκαρ, πιστῶν τὸ καύχημα.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

---

Χεὶρ Νεκταρίου ἐδόμησεν, ἔτει ͵βι´ Σεπτ. Ϛ´